eul_wid: umi-as

*Ἀνώνυμοι Ἰατρικοί* · Medical Writers Anonymous

# On Lycanthropy

*Περὶ λυκανθρωπίας*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἰατρική* Medicine
**Format:** *Πραγματεία* Treatise

[25] * ΠΕΡΙ ΛΥΚΑΝΘΡΩΠΙΑΣ. Εἶδος μανίας ἐστὶν ἡ λυκανθρωπία, καὶ νυκτὸς ἐξίασι τὰ πάντα καὶ τάφους διατρίβουσι. γνωριεῖς δὲ τοὺς οὕτω πάσχοντας. τοῖς δὲ ὠχροὶ τυγχάνουσιν καὶ ὁρῶσιν ἀδρανὲς καὶ ξηροὺς τοὺς ὀφθαλμοὺς ἔχουσι, οὔτε δακρύουσιν οὔτε ὑγραίνονται. θεάσῃ δὲ αὐτῶν καὶ κοίλους τοὺς ὀφθαλμοὺς καὶ τὸ πρόσωπον ὑγρὸν καὶ τὴν γλῶτταν ξηροτάτην καὶ σιέλον οὐδ᾽ ὅλως προχωρῶν αὐτοῖς. εἰσὶ δὲ καὶ διψώδεις ξηροὶ καὶ τὰς κνήμας, διὰ τὸ πολλάκις προσπίπτειν ἀνία αὐτοὺς καὶ ἑλκομένας ἔχουσιν. ἴδια δὲ σημεῖα τῶν μελαγχολικῶν τότε κατισχναίνειν τὸ σῶμα καὶ μελαγχολικὸν εἶναι τῇ φύσει, ἢ καὶ ἐξεπήκτη [?] τὸν διά τινος φροντίδος ἢ ἀγρυπνίας ἢ μοχθηρῶν σιτίων ἢ προφορᾶς ἢ ἐπίσχεσιν αἱμορροΐδων καὶ καταμηνίων γυναικῶν. τοιαῦτα μὲν δεῖ συμβαίνειν καὶ τὰ τῆς λυκανθρωπίας σημεῖα. Πῶς οὖν θεραπεύσει ς . Κατὰ μὲν οὖν τὸν πρῶτον χρόνον τῆς ἐπισημασίας τέμνω φλέβα τὴν ἐξ ἀγκώνων καὶ κενῶ τοῦ αἵματος ἄχρι λειποθυμίας καὶ διαίτησιν τὸν κάμνοντα ταῖς εὐχύμοις τροφαῖς· καὶ χρῆσθαι λουτροῖς γλυκέσι ἢ ὀρρῷ γάλακτος χρησάμενος ἐπὶ τρίτην ἡμέραν. καὶ καθαίρων δὲ τῇ διὰ τῆς κολοκυνθίδος ἱερᾷ καὶ β′ καὶ γ′ καὶ μετὰ τὰς καθάρσεις τῇ διὰ τῶν ἐχιδνῶν θηριακῇ χρήσομαι καὶ τὰ ἄλλα παραλήψομαι ὅσα ἐπὶ τῆς μελαγχολίας εἴρηται καὶ τὰς αἱμορροΐδας ἀναστομῶσαι καὶ καταμήνια γυναικῶν προπέσθαι κελεύω διὰ τὴν τούτων ἐπίσχεσιν, τὴν γεγενημένην εἰς τὸ πάθος· ἀγαθὰ δὲ καὶ αἱ διουρητικαὶ δυνάμεις καὶ τῶν ἱδρώτων κάθαρσις. [25]